μένων δὲ πολλῶν πάντων δ' ἀπαγορευόντων αἱ γυναῖκες
ἱκετηρίαν ἔθεσαν ἐπὶ τὰς θύρας ἐλθοῦσαι τῆς τοῦ Πύ-
θεω γυναικός. ἡ δ' ἐκείνας μὲν ἀπιέναι καὶ θαρρεῖν
ἐκέλευσεν, αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν οἷς
ἐπίστευε μάλιστα καλέσασα καὶ καθείρξασα, ποιεῖν ἐκέ-
λευεν ἄρτους τε χρυσοῦς καὶ πέμματα παντοδαπὰ καὶ
ὀπώρας, καὶ ὅσοις δὴ μάλιστα τὸν Πύθην ἐγίνωσκεν
ἡδόμενον ὄψοις καὶ βρώμασι. ποιηθέντων δὲ πάντων ὁ
μὲν Πύθης ἧκεν ἀπὸ τῆς ξένης· ἐτύγχανε γὰρ ἀποδη-
μῶν· ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τρά-
πεζαν οὐδὲν ἐδώδιμον ἔχουσαν ἀλλὰ πάντα χρυσᾶ. τὸ F
μὲν οὖν πρῶτον ἔχαιρε Πύθης τοῖς μιμήμασιν, ἐμπλη-
σθεὶς δὲ τῆς ὄψεως ᾔτει φαγεῖν· ἡ δὲ χρυσοῦν ὅ τι τύχοι
ποθήσας προσέφερε. δυσχεραίνοντος δ' αὐτοῦ καὶ πεινῆν
βοῶντος, 'ἀλλὰ σύ γε τούτων' εἶπεν 'ἄλλου δ' οὐδενὸς
εὐπορίαν πεποίηκας ἡμῖν· | καὶ γὰρ ἐμπειρία καὶ τέχνη **263**
πᾶσα φροῦδος, γεωργεῖ δ' οὐδείς, ἀλλὰ τὰ σπειρόμενα
καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς ὀπίσω καταλι-
πόντες ὀρύσσομεν ἄχρηστα καὶ ζητοῦμεν, ἀποκναίοντες
αὑτοὺς καὶ τοὺς πολίτας.' ἐκίνησε ταῦτα τὸν Πύθην, καὶ
πᾶσαν μὲν οὐ κατέλυσε τὴν περὶ τὰ μέταλλα πραγματείαν,
ἀνὰ μέρος δὲ τὸ πέμπτον ἐργάζεσθαι κελεύσας τῶν πολι-
τῶν τοὺς λοιποὺς ἐπὶ γεωργίαν καὶ τὰς τέχνας ἔτρεψε.

Ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα λαμπρό-
τατος ἐν ταῖς ὑποδοχαῖς καὶ ταῖς δωρεαῖς γενόμενος
χάριν ᾐτήσατο παρὰ τοῦ βασιλέως, πλειόνων αὐτῷ
παίδων ὄντων, ἕνα παρεῖναι τῆς στρατείας καὶ κατα- B
λιπεῖν αὐτῷ γηροβοσκόν. ὁ δὲ Ξέρξης ὑπ' ὀργῆς
τοῦτον μέν, ὃν ἐξῃτήσατο, σφάξας καὶ διατεμὼν ἐκέ-